eul_wid: mlw-aa

*Ἀριστοφάνους Σχόλια* · Aristophanes Scholia

# Scholia-Thesmophoriazusae

## *Σχόλια εἰς Θεσμοφοριάζουσας*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Ἔμμετρος* Verse

book ante 1 Προλογίζει Μνησίλοχος κηδεστὴς Εὐριπίδου. ὁ χορὸς ἐκ θεσμοφοριαζουσῶν. καὶ τοῦτο τὸ δρᾶμα τῶν κατ’ Εὐριπίδου πεποιημένων. ἀπὸ δὲ τῶν θεσμοφορίων τὰς θεσμοφοριαζούσας γυναῖκας ἐπέγραψεν, ἀφ’ ὧν καὶ ὁ χορός. Εὐριπίδου γυνὴ μὲν Χοιρίλη, μήτηρ δὲ Κλειτώ.

book 1 ἐπεὶ εἰώθασιν ἀπὸ χειμῶνος εὔχεσθαι ἔαρ, τῷ δὲ ἔαρι χελιδόνες φαίνονται, οὗτος δὲ ὥσπερ ἐχειμάσθη περιαγόμενος ὑπὸ Εὐριπίδου ἀλύοντος. τοῦτο ἔφη ἐν ἤθει οἷον πότε ἀπαλλαγήσομαι τοῦ κακοῦ τούτου, ὥσπερ οἱ ἐκ χειμῶνος ἐπιθυμοῦντες ἔαρ ἀφικέσθαι.

book 2 ἀλοῶν: Ἔξωθεν ἐν κύκλῳ περιάγων ὡς οἱ ἐν ταῖς ἅλωσι. καὶ τὸ τύπτειν ἀλοᾶν λέγουσιν ἀπὸ τῶν κοπτόντων τοὺς στάχυας.

book 3 οἷόν τε: δυνατὸν, ἐρωτηματικῶς.

book 5 ὁ μὲν τραγικώτερον καὶ ὑψηλότερον φράζει, ὁ δὲ ταπεινότερον ἢ δεῖ ἀκούει.

book 11 ταῦτα τῶν φυσικῶν λόγων. χωρὶς, τοῦ ἀκούειν καὶ ὁρᾶν.

book 12 ἀντὶ τοῦ εἰπεῖν τοῦ ἀκούειν καὶ ὁρᾶν εἶπε τοῦ μήτ’ ἀκούειν μήθ’ ὁρᾶν.

book 15 ἐπεὶ ὁ αἰθὴρ δοκεῖ τρέφειν ἡμᾶς. κινούμενα: οὐδὲν γὰρ δίχα κινήσεως γίνεται. ξυνετέκνου δὲ ἀντὶ τοῦ ἐτεκνοποίει.

book 17 ἀντίμιμον: ὅμοιον. λείπει τὸ περιφερές.

book 18 λείπει ὡς.

book 21 διὰ τούτου ὑπονοεῖ Εὐριπίδου εἶναι ἐκεῖνο τὸ «σοφοὶ τύραννοι τῶν σοφῶν ξυνουσίᾳ.» ἔστι δὲ Σοφοκλέους ἐξ Αἴαντος Λοκροῦ. ἢ οὖν ἐπίτηδες, ἵνα καὶ τοὺς ἄλλους ἐξαπατήσῃ, ἢ συνέμπτωσις Σοφοκλεῖ καὶ Εὐριπίδῃ ἐγένετο. οἷόν γε πού ’στιν αἱ σοφαί: καὶ διὰ τούτου φαίνεται ὑπονοῶν Εὐριπίδου εἶναι τὸ «σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ.» ἔστι δὲ Σοφοκλέους ἐξ Αἴαντος Λοκροῦ. ἐνταῦθα μέντοι ὑπονοεῖ μόνον, ἐν δὲ τοῖς Ἥρωσιν ἄντικρυς ἀποφαίνεται. καὶ Ἀντισθένης καὶ Πλάτων [Rep. 8, p. 568, A; Theag. p. 125, D] Εὐριπίδου αὐτὸ εἶναι ἡγοῦνται, οὐκ ἔχω εἰπεῖν ὅ τι παθόντες. ἔοικε δὲ ἤτοι πεπλανημένος ἢ συνεξαπατῆσαι τοὺς ἄλλους, ὥσπερ ὑπονοοῦσί τινες συμπτώσεις τῷ τε Σοφοκλεῖ καὶ τῷ Εὐριπίδῃ, ὥσπερ καὶ ἐπὶ ἄλλων τινῶν. τὸ μέντοι δρᾶμα ἐν ᾧ Εὐριπίδης ταῦτα εἶπεν οὐ σώζεται.

book 24 ἵνα μὴ περιπατήσῃ μετ’ αὐτοῦ.

book 25 πρόσεχε ἀντὶ τοῦ μνῆσαι.

book 27 λείπει ἡ διά, οἷον σιωπῶ διὰ τὸ θύριον. ἔπαιξε δέ.

book 31 οἱ περὶ Ἀρίσταρχον καὶ Δίδυμόν φασιν εἶναι τοιοῦτον Ἀγάθωνα. ἐγὼ δὲ οὐχ ἡγοῦμαι, ἀλλ’ ἐπειδὴ βούλεται κωμῳδεῖν τὸν Ἀγάθωνα ὡς μήτε καρτερὸν μήτε μέλανα, τοῦτο εἶπεν. ἢ ἄσημόν τινα.

book 32 ἐπειδὴ οὐ πάλαι ἤρξατο διδάσκειν, ἀλλὰ τρισὶν πρὸ τούτων ἔτεσιν.

book 33 διαβάλλει τὸν Ἀγάθωνα πάλιν ὡς λεῖον καὶ ἀποτίλλοντα αὑτοῦ τὰς τρίχας τοῦ πώγωνος.

book 36 κρυβῶμεν. κυρίως δὲ πτήσσειν ἐστὶ τὸ φεύγειν καὶ φοβεῖσθαι.

book 38 ὅτε γὰρ δρᾶμα ποιῆσαι ἤθελον, πρότερον θυσίας ἐποίουν. λείπει τὸ ὡς. ὡς ἔοικε.

book 39 παρὰ τοῖς τραγικοῖς οὕτω λέγεται, πᾶς ἔστω λαός.

book 41 ὁ ἱερὸς χορός.

book 43 ἐπεχέτω.

book 45 ἐπίρρημα ἐπὶ θαυμασμοῦ λαμβανόμενον.

book 48 ἀναδιπλασιάζει τὴν λέξιν.

book 52 προοίμια. κυρίως δὲ δρύοχοί εἰσιν οἱ ἐντιθέμενοι πάτταλοι ναυπηγουμένης νεώς.

book 53 ὡς ἀπὸ τῶν οἰκοδομούντων.

book 54 ὡς ἐπὶ τεκτόνων. μέλη κολλᾷ.

book 55 ὄνομα ἀντὶ ὀνόματος τίθησιν.

book 56 ὡς ἐπιπηγνύντος καὶ συντιθέντος. μεταστρέφει.

book 57 χωνεύει.

book 58 τοῖς φραγμοῖς τῶν οἴκων.

book 60 ἀντὶ τοῦ ἐπὶ τοῦ θριγκοῦ.

book 61 συγκάμψας.

book 62 ὡς εἰς χόανον τὸν πρωκτὸν ἐμβαλεῖν.

book 68 ὡς ἀπὸ τῶν λυόντων τὸν κηρὸν ἐν τῷ ἡλίῳ. ἐπειδὴ δύσκαμπτοι αἱ στροφαί. καὶ Ἀριστοφάνης [Nub. 971] τὰς δυσκολοκάμπτους αὐτάς φησιν. εἴρηται δὲ καὶ διὰ τὴν φωνὴν, ἐπεὶ λέγεταί τι κάμπτειν καὶ ἐν ταῖς ᾠδαῖς.

book 71 στενάζει φοβούμενος τὰς γυναῖκας.

book 74 τὸ σημεῖον· οὐ μόνον κηδεστὴς ὁ ἐκδιδοὺς, ἀλλὰ καὶ ὁ λαμβάνων.

book 80 τοῦτο τῶν ζητουμένων ἐστὶ, πῶς καὶ τρίτην καὶ μέσην εἶπεν. ια′ γὰρ ἄνοδος, εἶτα ιβ′ νηστεία, εἶτα τρισκαιδεκάτη καλλιγένεια, ὥστε μέση μὲν εἶναι δύναται, τρίτη μὲν οὔ, ἀλλὰ δευτέρα. ἀλλ’ οὐδὲ ψυχρεύεσθαί τις δύναται λέγων ὅτι τρίτη ἡ τρισκαιδεκαταία, ὡς ἑκταία ἑκατηβόλος σελάνα, ἑκκαιδεκαταία· ἡ γὰρ μέση οὐκ ἔστιν ιγ′, ἀλλὰ δωδεκάτη. ἡ λύσις οὖν ἥδε.

book 80 δεκάτῃ ἐν Ἁλιμοῦντι Θεσμοφόρια ἄγεται, ὥστε τρίτην μὲν ἀπὸ δεκάτης ιβ′ εἶναι, μέσην δὲ μὴ συναριθμουμένης τῆς δεκάτης. τοῦτο δὲ αἰνιγματῶδες κατὰ Καλλιμάχου ἄν τις φαίη, ἔνθα μὲν τρίτη λέγεται, συναριθμεῖν τὴν ι′, ἔνθα δὲ μέση, μηκέτι συναριθμεῖν. καὶ ὅπου γε λιμώττουσιν, ἀστεϊζόμενοι τὴν μέσην τῶν Θεσμοφορίων ἄγειν φασὶν, ἐπεὶ αὕτη ἡ νηστεία. ἑνδεκάτη Πυανεψιῶνος ἄνοδος. δωδεκάτη νηστεία, ἐν ᾗ σχολὴν ἄγουσαι ὑπόκεινται αἱ γυναῖκες ἐκκλησιάζουσαι περὶ Εὐριπίδου. τρισκαιδεκάτη καλλιγένεια. γ′ οὖν συναριθμουμένης ι′, μέσην δὲ τῆς ἀνόδου καὶ τῆς καλλιγενείας.

book 83

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κἀν θεσμοφόροιν: Ἀττικὴ σύνταξις καὶ δυϊκὴ, ἀντὶ τοῦ ἐν τῷ τῶν θεσμοφόρων ἱερῷ, Δήμητρος καὶ Περσεφόνης.

book 93 ἀεὶ γὰρ τὸν Εὐριπίδην ὡς πανοῦργον διαβάλλει.

book 94 εἶδος πλακοῦντος ὁ πυραμοῦς. οὗτος δὲ ἐτίθετο τοῖς διαπαννυχίζουσιν ἔπαθλον, καὶ ὁ ἐγρηγορὼς ἕως πρωΐας ὡς νικῶν αὐτὸν ἐλάμβανε. νῦν οὖν ταύτῃ τῇ μεταφορᾷ ἐχρήσατο ὡς νικῶντος αὐτοῦ τῇ πανουργίᾳ πάντας, ἤτοι τὰς γυναῖκας.

book 96 ἐπὶ ἐκκυκλήματος γὰρ φαίνεται.

book 98 Κυρήνην: Τὴν ἑταίραν, περὶ ἧς πολλάκις φησί. τοιοῦτον δὲ τὸν Ἀγάθωνα καὶ οἱ ἄλλοι κωμῳδοῦσιν.

book 100 ὡς λεπτὰ καὶ ἀγκύλα ἀνακρουομένου μέλη τοῦ Ἀγάθωνος· τοιαῦται γὰρ αἱ τῶν μυρμήκων ὁδοί. μεταξὺ δὲ τῶν δυοῖν ἀξιοῦσί τινες γράφειν μινυρισμὸς, ὡς πολλὰ τοιαῦτα παρεπιγράφεται.

book 101 ὁ Ἀγάθων ὑποκριτικὰ μέλη τέως ποιεῖ. ἀμφότερα δὲ αὐτὸς ὑποκρίνεται. μονῳδεῖ ὁ Ἀγάθων ὡς πρὸς χορὸν, οὐχ ὡς ἐπὶ σκηνῆς, ἀλλ' ὡς ποιήματα συντιθείς. διὸ καὶ χορικὰ λέγει μέλη αὐτὸς πρὸς αὑτὸν, ὡς χορικὰ δέ. χθονίαις δὲ τῇ Δήμητρι καὶ τῇ Κόρῃ.

book 105 εὐπίστως ἔχω πρὸς τὸ τοὺς θεοὺς ὑμνῆσαι καὶ εὐλογῆσαι.

book 109 ὃς τὴν Ἴλιον ἐτείχισεν.

book 117 τὴν παρθένον.

book 121 τῇ Φρυγίᾳ ἁρμονίᾳ ἡρμοσμένα. καὶ τὰ κρούματα τοῦ Ἀπόλλωνος κιθάρας σέβομαι, ἐπειδὴ εἶπε κάτω «κιθάραν ματέρα ὕμνων.» Ἀσιάδα δὲ τὴν κιθάραν λέγει.

book 122 ὀρχήματα.

book 123 τὸ σέβομαι κοινόν.

book 125 εὐτόνῳ. προεῖπε γὰρ ὅτι ἐκ παρθένων ἐστὶν ὁ χορός. ἢ ἄρσενι βοᾷ δοκίμῳ, ἐπεὶ Ἀπόλλων ἐστὶν ὁ κιθαρίζων. τῆς οὖν κιθάρας ἄρσενι βοᾷ δοκίμου οὔσης φῶς ἔσσυτο. ἐπάγει δὲ σημεῖον τοῦ παρὰ Ἀπόλλωνος λελέχθαι. τῇ θαυμαστῇ φωνῇ καὶ δεδοκιμασμένῃ.

book 126 τῆς κιθάρας φῶς ἔσσυτο τοῖς σοφοῖς· ἀπὸ γὰρ τῆς κιθάρας ἐδιδάχθησαν οἱ παλαιοὶ ᾄδοντες καὶ γράφοντες ποιήματα. ἢ τῇ Λητοῖ λαμπρότατα ὄμματα λέγει. πάλιν δὲ φῶς ἐγένετο αὐτοῖς ἀπὸ τῆς ἡμετέρας φωνῆς· ἄνευ γὰρ κιθάρας ἢ ἄνευ ἀνδρὸς τοῦ διδάσκοντος οὐ μαθήσεταί τις.

book 127 ἀντὶ τοῦ ἐνθουσιαστικῆς.

book 129 ὀλολύζει. παρεπιγραφὴ τοῦτο· εἰπόντος γὰρ τοῦ Ἀγάθωνος ὁ κηδεστὴς τοῦ Εὐριπίδου ὀλολύζει εἰς τὴν θηλύτητα αὐτοῦ καὶ μόνον οὐχὶ γυναικὸς εὐχήν.

book 130 δαίμων ἡ Γενετυλλὶς περὶ τὴν Ἀφροδίτην. φασὶ δὲ παρὰ τὴν γέννησιν πεποιῆσθαι τὸ ὄνομα. τινὲς δὲ περὶ τὴν Ἄρτεμίν φασιν αὐτὰς τῶν τοκετῶν ἐφόρους, καὶ πάλιν παρὰ τὴν γέννησιν τὸ ὄνομα πεποιῆσθαι.

book 131 ποικίλον καὶ ἡδύ. ἔστι δὲ εἶδος φιλήματος πολλαῖς γλώτταις μεμιγμένον. γλῶττα δέ ἐστι καὶ ἡ λέξις· κυρίως δὲ κατεγλωττισμένον ἐστὶ τὸ ἔγγλωττον φίλημα.

book 135 τὴν τετραλογίαν λέγει Λυκουργίαν, Ἠδωνοὺς, Βασσαρίδας, Νεανίσκους, Λυκοῦργον τὸν σατυρικόν. λέγει δὲ ἐν τοῖς Ἠδωνοῖς πρὸς τὸν συλληφθέντα Διόνυσον «ποδαπὸς ὁ γύννις;»

book 137 ἐντεῦθεν τὴν ἀρχὴν Εὔβουλος ἐποιήσατο τοῦ Διονυσίου, τὰ ἀνόμοια τῶν ἐν τῇ Διονυσίου οἰκίᾳ καταλέγων· ἐπὶ πλέον μέντοι. ἡ κιθάρα.

book 139 ζωνάριον.

book 141

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γρ. σύ τ’ αὐτός. ἀντὶ τοῦ τρέφῃ· τὸ γὰρ τρέφει Ἀττικόν.

book 142 ἀνδρεῖα ὑποδήματα.

book 144 στοχάζομαί γε ἐκ τῆς μελοποιίας οἷος ἄν τις εἴης.

book 147 ἀντὶ τοῦ οὐκ ἐλυπήθην.

book 152 ἀντὶ τοῦ τὴν σκέψιν.

book 154 γυναικεῖα δράματα λέγεται ἐν οἷς ὁ χορὸς ἐκ γυναικῶν ἐστὶν, ἀνδρεῖα δὲ ἐν οἷς ἐξ ἀνδρῶν.

book 158 ἐπεὶ ὡς ἐπίπαν ἐστυκότας τοὺς σατύρους εἰσάγουσιν.

book 160 ἀγροῖκον καὶ πώγωνα μέγαν ἔχοντα.

book 161 Ἴβυκος ὁ Ῥηγῖνος καὶ Ἀνακρέων ὁ ἀπὸ Τέω (αὕτη δὲ πόλις τῆς Ἰωνίας), καὶ Ἀλκαῖος ὁ Λέσβιος μέλη ἔγραψαν πρὸς λύραν.

book 162 ἔγχυμον ἐποίησαν. ἐν ἐνίοις δὲ Ἀχαιὸς γέγραπται, καὶ τὰ παλαιότερα ἀντίγραφα οὕτως εἶχεν. Ἀριστοφάνης δέ ἐστιν ὁ μεταγράψας Ἀλκαῖος· περὶ γὰρ παλαιῶν ἐστὶν ὁ λόγος, ὁ δὲ Ἀχαιὸς νεώτερος. τὸ δὲ λεγόμενον ὑπὸ Διδύμου πρὸς Ἀριστοφάνην, ὅτι οὐ δύναται Ἀλκαίου μνημονεύειν (οὐ γὰρ ἐπεπόλαζε, φησὶ, τὰ Ἀλκαίου διὰ τὴν διάλεκτον), λελήρηται ἄντικρυς. καὶ ἐν τῷ πρὸ τούτου δράματι, τοῖς Ὄρνισι, παρῴδηται τὸ «ὄρνιθες τίνες οἵδ’ ὠκεανῶ γᾶς ἀπὺ περράτων» οὕτως «ὄρνιθες τίνες οἵδ’ οὐδὲν ἔχοντες» καὶ ἐν Σφηξὶν «ὤνηρ οὗτος ὁ μαιόμενος τὸ μέγα κράτος.» ἀλλαχοῦ δὲ ὁ Δίδυμός φησιν, ἡ μὲν γραφὴ δύναται μένειν, οὐκ ἂν δὲ τούτου τοῦ μελοποιοῦ μέμνηται, πάλιν τὸ αὐτὸ λέγω ὅτι οὐκ ἐπεπόλαζε τὰ μέλη, ἀλλ’ Ἀλκαίου τοῦ

book 162 κιθαρῳδοῦ, οὗ καὶ Εὔπολις ἐν Χρυσῷ Γένει μέμνηται «ὦ ’λκαῖε Σικελιῶτα Πελοποννήσιε.» τί δὲ ἐνταῦθα κιθαρῳδοῦ, περὶ ποιητοῦ ὄντος τοῦ λόγου;

book 163 ἁβρῶς.

book 164 Φρύνιχος ὁ τραγικὸς, ἐπεὶ Ἀθηναῖος ἦν.

book 168 ἐκ τούτου .... καὶ ἐν τοῖς Ὄρνισιν [1295] οὐκ ἄλλοθεν κορυδὸν αὐτὸν ὠνόμασεν ἀλλ’ ἢ ὅτι μικρὸς καὶ αἰσχρός. καὶ Τηλεκλείδης Ἡσιόδοις «ἀλλ’ ἡ τάλαινα «Φιλοκλέα **** οὖν, εἰ δ’ ἐστὶν Αἰσχύλου φρόνημ’ «ἔχων.» τραγῳδίας ποιητὴς αἰσχρὸς τὸ πρόσωπον καὶ σιμὸς καὶ μικρὸς τὸ σῶμα.

book 173 κακὸς ἤμην.

book 177 σοφοὺς μᾶλλον ἔλεγον καὶ σοφιστὰς τοὺς περὶ μουσικὴν καὶ ποιητικήν.

book 179 μεγάλῃ καὶ θαυμαστῇ.

book 190 γέρων γὰρ τότε Εὐριπίδης ἦν· ἕκτῳ γοῦν ἔτει ὕστερον τελευτᾷ.

book 194 ἐξ Ἀλκήστιδος Εὐριπίδου [694].

book 199 ἐκφεύγειν.

book 203 ἐὰν τοῦτο ποιήσωμεν.

book 214 ἀληθῶς.

book 215 τὰ γένεια. ταῦτα δὲ ἔλαβεν ἐκ τῶν Ἰδαίων Κρατίνου.

book 220 παρὰ τὸ δουροδόκης ὡς πολλὰ αυ..

book 221 ἵνα ἀποτεταμένης αὐτῆς καλ...νεν.

book 224 ἀντὶ τοῦ εἰς τῶν Ἐρινύων. ἄσυλον γὰρ εἶχον οἱ καταλαμβάνοντες τὰ ἱερὰ τῶν Ἐρινύων.

book 227 τὴν μίαν κομῶν γνάθον, τὴν ἑτέραν ἐψιλωμένος.

book 231

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅτι τὸ μύζειν παρῆκται ἀπὸ τοῦ μῦ πολλοῖς ἄλλοις ὁμοίως. μύζειν δέ ἐστι τὸ τοῖς μυκτῆρσι ποιὸν ἦχον ἀποτελεῖν.

book 232 ψιλὴ τάξις ἐστὶν ἀγεννεστάτη, ἥτις βάλλεται ἔμπροσθεν τοῦ στρατοπέδου γυμνὴ οὖσα ὅπλων, καὶ ἐὰν ταραχὴ γένηται, ἐκείνη πρώτη ἀναιρεῖται. τοῦτο δὲ λέγει, ἐπεὶ ἐψίλωται.

book 235 διαβάλλει τοῦτον ὡς ξυρούμενον.

book 236 μετὰ γὰρ τὸ τυθῆναι τὰ δελφάκια φλογίζονται, ἵνα ψιλωθῶσιν.

book 242 ὡς εἰ ἔλεγεν οἰκίαν.

book 245 ἄσβολος καλεῖται ἡ αἰθάλη τοῦ πυρός.

book 246 τράμις ὁ πρωκτός.

book 254 δέον εἰπεῖν μύρου εἶπε ποσθίου. πόσθιον δέ ἐστι τὸ αἰδοῖον τοῦ ἀνδρός. διαβάλλει δὲ αὐτὸν ὡς μετ’ αὐτοῦ ἑταιρίζοντα.

book 258 ὅτι τὴν περίθετον οὕτως. καὶ τοῦτο δὲ εἰς μαλακίαν, ἵνα λανθάνῃ νυκτὸς καὶ ὡς γυνὴ πάσχῃ. λέγουσι δὲ περίθετον πρόσωπον, ὡς Ἀριστομένης ἐν Γόησιν «παντευχίαν δὲ τοῦ θεοῦ ταύτην λαβεῖν καὶ «περίθετον πρόσωπον, ὃ λαβὼν ἕσταθι.»

book 259 πάντα ἔχουσα τὰ τοιαῦτα ἐν ἑαυτῇ.

book 261 τῆς κλίνης. στρῶμα δίδωσιν αὐτῷ. βάθριόν τι ἡ κλινὶς εἰστεταμένον. δῆλον δὲ ὅτι τὸ ἔγκυκλον ἱμάτιον, ὁ δὲ κροκωτὸς ἔνδυμα.

book 263 χαῦνα. διαβάλλει δὲ πάλιν τὸν Ἀγάθωνα ὡς χαῦνον.

book 268 ὡς γυνὴ λαλήσεις.

book 272 ἐκ τῆς Μελανίππης Εὐριπίδου.

book 273 Ἱπποκράτης ἐγένετο Ἀθηναῖος, ὃς εἶχεν υἱοὺς ** διεβάλλετο δὲ σὺν αὐτοῖς ὡς ἀπαίδευτος.

book 274 ὅτι κατὰ δύναμιν τῆς λέξεως, ἀντὶ τοῦ ἀθρόους πάντας. τὸ γὰρ ἄρδην ὅμοιόν ἐστι τῷ φοράδην ἐνέγκαι· ἡ γὰρ ἄρσις τοῦτο δηλοῖ. εἰ μὴ νῦν τοῦτο βούλεται, πάντας ὁμοῦ αἴρω.

book 276 ἐπειδὴ ἐν Ἱππολύτῳ [608] τοῦτο εἶπεν Εὐριπίδης, νῦν εὐλαβούμενος λέγει ὅτι ἡ φρήν σου ὀμώμοκε καὶ οὐχ ἡ γλῶττα.

book 277 παρεπιγραφή. ἐκκυκλεῖται ἐπὶ τὸ ἔξω τὸ θεσμοφόριον.

book 278 ὅτε ἔμελλε γίνεσθαι ἐκκλησία, σημεῖον ἐτίθετο. οὕτως οὖν καὶ τῶν γυναικῶν μελλουσῶν ἐκκλησιάζειν σημεῖον τίθεται.

book 279 μιμεῖται τὴν φωνὴν γυναικός.

book 282 δυϊκόν. τὸ ἐντελὲς περικαλλέε.

book 289 ὡς τῆς θυγατρὸς αὐτοῦ κατ’ ἐπίκλησιν οὕτω καλουμένης. οἷον βοίδιον ἢ χρυσίον ἢ μύρτιον. ἴσως δὲ τὸ αἰδοῖον τὸ γυναικεῖον αἰνίττεται.

book 290 ἀναισθήτου καὶ μωροῦ, ἵνα κρατῇ αὐτοῦ.

book 291 τὸν παιδαρίσκον. ἴσως δὲ παρὰ τὴν πόσθην αὐτὸ συνέθηκεν. ἀντὶ τοῦ κατωφερῆ τὸν νοῦν μου ποίησον.

book 295 γυνὴ μιμουμένη κήρυκα. πεζῇ εὐφημίᾳ χρῶνται οἱ κωμικοὶ, ἐπειδὰν εὐχὴν ἢ ψήφισμα εἰσάγωσιν.

book 298 ὡς ἀνδρὶ τῆς Περσεφόνης. δαίμων περὶ τὴν Δήμητραν, ἣν προλογίζουσαν ἐν ταῖς ἑτέραις Θεσμοφοριαζούσαις ἐποίησεν.

book 299 εἴτε τῇ γῇ εἴτε τῇ ἑστίᾳ, ὁμοίως πρὸ τοῦ Διὸς θύουσιν αὐτῇ.

book 310

ἀπὸ κοινοῦ εὔχεσθε.

book 312 ὁ χορὸς ἀπὸ γυναικῶν θεσμοφοριαζουσῶν.

book 324 τὸν ὑπὸ τῶν ἀνέμων κινούμενον. πᾶσαν δὲ κίνησιν καλοῦσιν οἶστρον.

book 327 ἡ τοῦ Ἀπόλλωνος.

book 329 ἐπὶ τὸ τελεστικὰ τὰ πράγματα γενέσθαι. εἰς τέλος ἄγοιμεν τὰ δόξαντα.

book 336 φιλίαν σπένδει.

book 339 ἐκ τῆς κατάρας τῆς ἐπὶ τοῖς Πεισιστρατίδαις γενομένης ταῦτα παρέμιξεν. ἔοικέ τινα παραμιγνύναι τῶν ἐφ’ Ἱππίᾳ ψηφισθέντων.

book 341 κατεῖπε πρὸς τὸν δεσπότην.

book 345 ἵνα αὐτῇ συγγένηται.

book 346 ἢ καὶ δέχεται δῶρα παρ’ ἑταίρας ἐπὶ τῷ προδιδόναι καὶ συγχωρῆσαι αὐτῇ τὸν φίλον. γράφεται ἔν τισιν ἑταίρα καὶ ἔστιν ἕτερος νοῦς. Ἄλλως. ἐὰν μὲν ἄνευ τοῦ ι γρ. ἑταίρα, οὕτως· ἢ δέχεται δῶρα ὑπὲρ τοῦ ἑταίρα οὖσα προδιδόναι τὸν φίλον. ἐὰν δὲ σὺν τῷ ι, προδιδοῦσάν τινα ἑταίραν τὸν ἑαυτῆς φίλον.

book 347 τοῦ διξέστου. χοὺς γὰρ δύο ξέσται, χοεὺς δὲ ἕξ.

book 350 καταρᾶσθε.

book 355 ὅσαις δὲ προσήκει τὰ ἄριστα λέγειν, ταύτας νικᾶν λεγούσας.

book 359 ὑφ’ ἡμῶν.

book 363 δηλοῖ ἐνταῦθα ὅτι λέγουσι καὶ ὁμοίως ἡμῖν τὰ ἀπόρρητα, οὐ μόνον ἀπηγορευμένων.

book 365 ἀντὶ τοῦ εἰπεῖν πολεμίους εἶπε Μήδους. κατ’ ἐξοχὴν δὲ εἴρηται, ὥσπερ καὶ παρ’ Ὁμήρῳ [Il. N, 1] «Ζεὺς ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα.»

book 370 συμμαχεῖν.

book 373 ἐπιστάτις ἐστὶν ἡ Τιμόκλεια. ἀρχὴ δέ τίς ἐστιν ἐπιστάτις, ἥτις ἀνισταμένη συμβουλεύει περὶ πολέμου ἢ εἰρήνης ἢ περὶ ἄλλου τινός.

book 376 ἐν γὰρ ταῖς ἄλλαις ἡμέραις περὶ τὰς θυσίας γίνονται. —ᾗ, ὅπου. Put.

book 377 χρηματίζειν ἐστὶ τὸ λόγους διδόναι ἀλλήλοις.

book 380 ἀντὶ τοῦ στέφανον· ἔθος γὰρ ἦν τοῖς λέγουσι στεφανοῦσθαι πρῶτον. τὸ δὲ περίθου, ὅπερ ἡμῖν σύνηθες ἐπίθου λέγειν.

book 383 καλλιλεξία. γυνή.

book 386 ὑβριζομένας.

book 389 ἐπιχρίει, ἐπιξύει. σμῆξαι δέ ἐστι τὸ τὸν ῥύπον ἐπιξύσαι. μεταφορικῶς ἀπὸ τοῦ σμήχειν, οἷον ἐπιτρίβει· σφοδρὰν γάρ τινα τρίψιν καὶ τὴν σμῆξιν εἶναι. τάχα δὲ καὶ τὴν σμώδιγγα εἰρῆσθαι ἀπὸ τούτου. Διόδωρος οὐ μεταφορικὴν, ἀλλ’ ἐξ ἔθους γλωσσηματικὴν, καὶ μὴ εἶναι ἐπιτρίβειν ἀλλὰ τύπτειν ἢ σκώπτειν τὸ σμώχειν. Ἄλλως. ἐπισμῇ: καὶ παρὰ Κρατίνῳ ἐστὶν ἐν Κλεοβουλίναις τὸ ἐπισμῇ. ἔστι δὲ λοιδορία, ἀπὸ τοῦ καθάπτεσθαι τῶν σμωμένων.

book 393 ὁ Σύμμαχός φησι παρὰ τὸ πιπίζειν τὸν οἶνον. ἐγὼ δὲ οὐχ ὁρῶ τὸ πιπίζειν ἐπὶ ταύτης τῆς ἐννοίας παρὰ τοῖς Ἀττικοῖς κείμενον, ἀλλὰ κατὰ μίμησιν φωνῆς λεγόμενον. ἄμεινον οὖν, ὥσπερ παιδοπίπης λέγεται, οὕτω καὶ οἰνοπίπης. Ἄλλως. τὰ πλεῖστα οἰνοπίπους ἔχει ἀντὶ τοῦ τὰς μεθύσους ἀπὸ τοῦ πιπίζειν, ὅπερ ἐστὶν ἐκμύζειν.

book 395 ὡς ἔτι ἰκρίων ὄντων ἐν τῷ θεάτρῳ καὶ ἐν ταῖς ἐκκλησίαις ἐπὶ ξύλων καθημένων. πρὶν γὰρ γενέσθαι τὸ θέατρον, ξύλα ἐδέσμευον καὶ οὕτως ἐθεώρουν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 397 ἀντὶ τοῦ ἐν ὅλοις αὐτοῦ τοῖς δράμασι.

book 401 νεωτέρων καὶ ἐρωτικῶν τὸ στεφανοπλοκεῖν. πρὸς τὸ ἔθος, ὅτι ἐστεφανηπλόκουν αἱ παλαιαί. Σαπφὼ «αυταόρα αιστεφανηπλόκουν.»

book 402 περιερχομένη.

book 403 ἀντὶ τοῦ εἰς τίνα τὸν νοῦν ἐχούσης σου κατέαγεν ἡ χύτρα. ὡς διὰ τὸ ἐρᾶν μὴ προσεχουσῶν ἐπεφώνουν ταῦτα οἱ ἄνδρες, εἰ ἡ γυνή τι ἐκ τῶν χειρῶν ἀφίοι.

book 404 ἐκ Σθενεβοίας Εὐριπίδου. διαβάλλει δὲ ὡς μοιχοὺς τοὺς Κορινθίους.

book 409 ὅτε τίκτουσιν αἱ γυναῖκες.

book 410 πρὸς τοὺς γέροντας διαβέβληκεν, οἳ πρὸ τοῦ τὰς μείρακας ἤγοντο.

book 412 ἀντὶ τοῦ διὰ τὸν ἴαμβον τοῦτον. πᾶν γὰρ μέτρον οἱ παλαιοὶ ἔπος ἐκάλουν.

book 416 ἠπειρωτικούς.

book 417 φόβον ἀπὸ τῶν προσωπείων.

book 419 ἐκ τοῦ ταμείου λαβεῖν.

book 420 ὅτι ἑνικῶς τὸ ἄλφιτον.

book 423 τὰ γὰρ ἀρχαῖα μονοβάλανά φασιν εἶναι. γομφίους δὲ, οὓς ἡμεῖς ὀδόντας. Μένανδρος Μισουμένῳ «Λακωνικὴ κλείς ἐστιν ὡς ἔοικέ μοι περιοιστέα.» καί φασιν ὅτι ἔξωθεν περικλείεται μοχλοῦ παρατιθεμένου ἤ τινος τοιούτου, ὥστε τοῖς ἔνδον μὴ εἶναι ἀνοῖξαι. περιβόητοί εἰσιν αἱ Λακωνικαὶ κλεῖδες.

book 425 σφραγίδιον παραπλήσιον ᾧ ἐσφράγιζεν ὁ ἀνήρ.

book 427 ξύλα ὑπὸ θριπῶν βεβρωμένα, οἷς ἐσφράγιζον. θρῖπες δὲ εἶδος σκωλήκων.

book 428 ἐξάψαντας ἑαυτῶν.

book 429 ταράττειν καὶ κινεῖν.

book 441 διὰ τὸ εὐμήχανον ἐν τοῖς δράμασι λέγεσθαι τὸν Ξενοκλέα πρὸς τὰς τῆς γυναικὸς μηχανὰς παρελήφθη. χλευάζων δὲ λέγει οὐκ ἀπὸ σπουδῆς, ὡς ἐπὶ συμμέτρου. Ἄλλως. ὁ τραγῳδοποιός. ἤτοι δὲ διαβάλλει αὐτὸν ὡς ἀφυᾶ.

book 442 φανερῶς.

book 445 ὑπὸ Εὐριπίδου.

book 448 διὰ μυρρινῶν στεφάνους ποιοῦσα.

book 449 ἀντὶ τοῦ πρότερον.

book 458 οὓς ἡμεῖς ἐκδοτικοὺς λέγομεν.

book 459 φρόνημα.

book 469 ἐπίτηδες ὁ κηδεστὴς ὑπὲρ τὰς ἄλλας γυναῖκας γυναικίζεται, ἵνα διὰ τούτου λάθῃ.

book 472 ἀντὶ τοῦ μόναι. οὐδεμία ἐκφέρουσα τοὺς λόγους πρὸς τοὺς ἄνδρας.

book 473 διὰ τί.

book 481 ἔξυεν ἠρέμα, παρὰ τὸ κνᾶν.

book 485 λείπει τὸ ἔφη.

book 486 ἐλελίσφακον. ὡς ἐπιτήδεια παῦσαι στρόφον.

book 487 ἵνα ὀλισθηρὸς γενόμενος μὴ ψοφῇ.

book 489 ἀγυιεὺς οὕτω καλούμενος Ἀπόλλων τετράγωνος.

book 491

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν νῦν καλουμένων σταβλίτων ἢ βουρδωναρίων, τῶν τοὺς οὐρῆας κομούντων.

book 495 διὰ γὰρ τὸν πρὸς Πελοποννησίους πόλεμον ἐφύλαττον Ἀθηναῖοι τὰ τείχη.

book 499 στολῆς εἶδος.

book 500 ὅτι καὶ συστολαῖς βιαίοις χρῶνται καὶ ἐκτάσεσι. καὶ ἄνω [176] «ἀλλ’ ὧνπερ οὕνεκ’ ἦλθον ἀλλ’ εἰπεῖν βούλομαι.»

book 505 ὅτι ἐν χύτρᾳ τὰ παιδία ἐξετίθεσαν.

book 506 τὸ στόμα πεπληρωμένον. καὶ ἄλλως οὐ γάλα πρότερον τοῖς βρέφεσιν ἐδίδοσαν, ἀλλὰ μέλι ἀπολείχειν. Μένανδρος δὲ οὐκ ὀρθῶς ποιεῖ τὰ ἀρτίτοκα γάλακτος δεόμενα.

book 509 δέον εἰπεῖν «τὸ βρέφος τὸ ἦτρον τῆς μήτρας ἐλάκτισεν» εἶπε τῆς χύτρας, ἐπειδὴ ἐν χύτρᾳ εἰσῆλθε τὸ παιδίον. τὸ κάλυμμα τῆς μήτρας, ὃ καλοῦμεν ἔλυτρον.

book 516 Θεόφραστος τὴν προάνθησίν φησι τῆς πίτυος καὶ τῆς πεύκης. Ἐρατοσθένης ἀγγεῖον τοῦ σφηκὸς ἢ τῆς μελίσσης, ὅπου οἱ σκώληκες ἔπεισιν. ἀλλ’ οὐδὲ οὕτως πάνυ σώζεται ἡ ἀκολουθία. δεῖ οὖν χωρίζειν ἑκάτερον οὕτως, καὶ ὡς στρεβλὸν καὶ ὥσπερ κύτταρον, προσόμοιον κυττάρῳ πλήρει καὶ ἔχοντι τὸν σκώληκα. Ἄλλως. κύτταρος καλεῖται τὰ κοιλώματα τῶν μελικηρίδων· ὁμοίως δὲ καὶ τὸ πῶμα τῆς βαλάνου, ὅπου ἐγκάθηται ἡ βάλανος, ὅπερ νῦν ἀκουστέον· περὶ γὰρ αἰδοίου λέγει.

book 519 παρὰ τὰ ἐκ Τηλέφου Εὐριπίδου «εἰ δὴ θυμούμεθα παθόντες οὐδὲν μᾶλλον ἢ δεδρακότες.»

book 529 ἐκ τῶν εἰς Πράξιλλαν ἀναφερομένων «ὑπὸ παντὶ λίθῳ σκορπίον ὦ ’ταῖρε φυλάσσεο.» καὶ ἑτέρα «πάντα λίθον κίνει.»

book 531 τοῦτο ἰαμβικὸν τετράμετρον καταλῆγον.

book 532 εἰ μὴ ἄλλη γυνή.

book 533 κατὰ τῆς Ἀγραύλου ὤμνυον, κατὰ δὲ τῆς Πανδρόσου σπανιώτερον· κατὰ δὲ τῆς Ἕρσης οὐχ εὑρήκαμεν.

book 536 συντιμωρεῖσθαι αὐτὸν βουλόμεναι, ἐπειδὴ ἐπὶ σκηνῆς εἰσίν.

book 547 τοῦτο μόνον τὸ τετράμετρον ἰαμβεῖον ἀνάπαιστον ἔχει τὸν καταλήγοντα. ἄξιον οὖν αὐτὸν τηρῆσαι.

book 556 ξύστρας.

book 557 κατεχρήσατο εἰποῦσα σιφωνίζομεν σῖτον. κυρίως γὰρ σιφωνίζειν τὸ τὰ ὑγρὰ ἀποσπᾶν.

book 560 κατέκοψεν. τοῦτο διὰ τὴν Κλυταιμνήστραν, οὐκ ἀπὸ ἱστορίας.

book 561 οὐκ ἀπὸ ἱστορίας παλαιᾶς εἴληφεν, ἀλλ’ ὡς ἐν τῇ Ἀττικῇ τούτου γενομένου.

book 562 ὡς καὶ τούτου πάλιν γενομένου.

book 564 ὡς καὶ τούτου πάλιν γενομένου.

book 565 ἐπιτετήδευκεν ὑφαρπάζουσαν τὴν ἑτέραν ποιῆσαι τὸν λόγον, ἐπεὶ ἔλειπε τὸ λαβεῖν.

book 566 ὡς τὼ χεῖρε. οὐκέτι δὲ τοῖν θεοῖν, ἀλλὰ ταῖν θεαῖν.

book 567 ὅτι ἐπὶ γυναικείων τριχῶν ὡς τὸ πολὺ, καὶ ὅτι παρετυμολογεῖ τὸν πόκον οὐ κακῶς. Λυκόφρων δὲ ἁπλῶς τὰς τρίχας. ἐμπλοκὴ δέ τις φαίνεται, καὶ ὡς πλοκαμῖδες σπανίως ποτὲ ἐπὶ ἀνδρὸς λέγεται.

book 572 ἀντὶ τοῦ ἐγγὺς παρὰ τοῖς Ἀττικοῖς. καὶ Μένανδρος «ἔστιν δ’ ὁμοῦ τὸ χρῆμα.»

book 574 τὰ αὐτά μοι πράττουσα.

book 575 ἐψίλωτο γὰρ ὁ Κλεισθένης τὰς γνάθους γυναικωδῶς.

book 576

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προΐσταμαι.

book 578 πρὸ ὀλίγου.

book 585 ὅτι ἀναπέμψαι κυρίως. διὸ καὶ ἄνοδος ἡ πρώτη λέγεται, παρ’ ἐνίοις καὶ κάθοδος, διὰ τὴν θέσιν τῶν θεσμοφορίων. ἐπεὶ καὶ ἄνοδον τὴν εἰς τὸ θεσμοφόριον ἄφιξιν λέγουσιν· ἐπὶ ὑψηλοῦ γὰρ κεῖται τὸ θεσμοφόριον.

book 600 ἀντὶ τοῦ κεκρυμμένος. καλοῦνται μὲν γὰρ καὶ κρύπται παρὰ Πλάτωνι τῷ φιλοσόφῳ [Leg. 1, 633, A] καὶ παρ’ Εὐριπίδῃ καὶ ἐν ταῖς τῶν Λακεδαιμονίων πολιτείαις. καὶ ἐν Θάσῳ ἀρχή τις κρύπται. ἁπλῶς ἀντὶ τοῦ κεκρυμμένος.

book 602 ὦ προστάτα.

book 603 Μνησίλοχος τοῦτο διὰ τὸ μέλλειν ἔρευναν γίνεσθαι.

book 612 ἀντὶ τοῦ οὔρει.

book 616 ἐπισχετικὰ γάρ ἐστιν οὔρου τὰ κάρδαμα καὶ πτύσματος. καὶ διὰ τοῦτό φασι τοὺς Πέρσας αὐτοῖς χρῆσθαι. ὅτι μὲν γὰρ χρῶνται καὶ Ξενοφῶν φησι [Cyrop. 1, 2, 16.] «φυλάττονται πολλὰ οὐρεῖν, ὥσπερ καὶ «πτύειν καὶ ἀπομύττεσθαι.»

book 620 Κοθωκίδαι δῆμος τῆς Οἰνηίδος φυλῆς.

book 622 οἱ μὴ δυνάμενοί τι λέγειν τοιαῦτα λέγουσιν.

book 623 καὶ τοῦτο πρὸς τὴν ἄνοδον, ἐπειδὴ ἄνοδος ἦν πρὸς τὸ ἱερόν.

book 624 φίλη συνδίαιτος. σκηνὰς γὰρ ἑαυταῖς ἐποίουν τὸ ἱερόν.

book 630 διαβάλλει πάλιν τὰς γυναῖκας ὡς μεθύσους.

book 631 ἀλλήλας ἐδεξιούμεθα.

book 633 μὴ εὑρίσκων τί εἴπῃ ὁ κηδεστής φησιν ὅτι ἀντὶ ἀμίδος σκάφιον ᾔτησεν ἡ Ξένυλλα. ἀμὶς δέ ἐστιν οὐροδόχον ἀγγεῖον.

book 641 ἀντὶ τοῦ στεῖρα.

book 646 οὐκ ἐνταῦθά γε. παρατετήρηται καὶ πρότερον.

book 648 ἐπεὶ τὰς ναῦς διὰ τοῦ Ἰσθμοῦ εἷλκον Κορίνθιοι, ὥστε μὴ περιέρχεσθαι. τοῦτο δὲ διισθμονίσαι ἐκάλουν.

book 649 ἀντὶ τοῦ διὰ ταῦτα.

book 656 τῶν ἐγκύκλων ἀποδυσαμένας.

book 657 ἐπεὶ μόνων γυναικῶν ἐστιν ἡ ἐκκλησία. περιδραμεῖν.

book 658 τὴν ἐκκλησίαν παρὰ τὸ πυκνοῦσθαι τοὺς ὄχλους. ἐπεποίηντο γὰρ ἐκκλησίαν. τὰς δὲ σκηνὰς διὰ μέσου εἴρηκε. καὶ γὰρ πρὸς τῇ πυκνὶ σκηναὶ ἦσαν, ὡς καὶ αὐτὸς Ἀριστοφάνης μέμνηται τούτου.

book 664 παρακαθεζόμενος.

book 680 ἀντὶ τοῦ διάπυρος ὢν ταῖς μανίαις.

book 682 γελοίως εἶπεν, ὡς Ἀλέξανδρος «ἦσαν ἄνθρωποι πέντε καὶ γυναῖκες τρεῖς.» πέπαικται οὖν τοῦτο ὡς ἐν κωμῳδίᾳ.

book 684 ἀποδίδωσιν.

book 688 ..... ἁρπάζει παιδίον μιᾶς γυναικὸς, καὶ καταφεύγει ἐν τῷ ἱερῷ, λέγων ὅτι ἐάν με τύψητε, κατασφάξω τοῦτο τὸ παιδίον. ἀντὶ δὲ παιδίου ἀσκὸν οἴνου λαμβάνει, καὶ αὐτὸν ἐνδύει κροκωτὸν, καὶ ποιεῖ αὐτῷ χεῖρας καὶ πόδας, καί φησιν αὐτὸ παιδίον. διαβάλλει δὲ τὰς γυναῖκας ὡς ἐν ταῖς μάχαις αὐτῶν τοὺς ἀσκοὺς τῶν οἴνων κατέχουσιν.

book 693

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν βωμῶν, ἀπὸ τοῦ τὰ μηρία ἐπάνω ἀποκεῖσθαι. ἐκ δὲ τοῦ περιεχομένου τὸ περιέχον εἶπεν.

book 697 τροπαῖον προπερισπωμένως ἀναγνωστέον παρὰ Ἀριστοφάνει καὶ παρὰ Θουκυδίδῃ, τρόπαιον δὲ προπαροξυτόνως παρὰ τοῖς νεωτέροις ποιηταῖς

book 701 παροιμία.

book 710 ἐκ τῶν ἀνδρῶν φησὶν, ὅθεν οὐκ ἔξεστιν. ὁ Σύμμαχος· γελοίως φησὶν ὅθεν ἥκεις φαύλως ἥκεις. ἥκεις, φησὶν, εἰς τὰς χεῖρας ἡμῶν, ὅθεν οὐ φεύξῃ.

book 714 τοῦτο τὸ παθεῖν.

book 717 κάθηται ἐπὶ βωμοῦ ὡς ἱκετεύων, ἡρπακώς τινος θυγάτριον· φαίνεται δὲ ἀσκὸν ἔχων.

book 726 πρὸς τὰς γυναῖκας.

book 728 ὄνομα κύριον δούλης τὸ Μανία. καὶ ἐκτεταμένον ἔχει τὸ α.

book 729 σπινθῆρα.

book 730 εἶδος ἱματίου. ἠμφίεσται δὲ ὡς παιδίον καὶ ὑποδήματα ἔχει ὁ ἀσκός.

book 734 ὁ ἀσκός. εἶδος δὲ ὑποδημάτων αἱ Περσικαί.

book 735 ὦ μέθυσοι.

book 738 ἅπαντα γὰρ ἕνεκα τοῦ πιεῖν ἐνέχυρα τίθεται καὶ πιπράσκεται.

book 742 ἀλλ’ οὐ δέκα μῆνας κυοῦσιν αἱ γυναῖκες, ἀλλ’ ἐννέα. εἰώθασι δὲ οὕτω πλήρει ἀριθμῷ χρῆσθαι ἀντὶ τῶν ἐννέα μηνῶν.

book 743 τρεῖς κοτύλας οἴνου χωροῦν.

book 746 τοῦτο πάλιν ὡς ἐπὶ ἀσκοῦ· ἀντὶ γὰρ τοῦ εἰπεῖν ἔτη εἶπε χοᾶς.

book 750 εἰώθασι λέγειν, ἐάν τις ἐν Διονυσίοις ἢ Διασίοις ἢ Σκίροις μικρόν τι προσεναγισμάτων φησὶν ευπα. ἅμα δὲ ὅτι καὶ περὶ οἴνου ἐστὶν ὁ λόγος. Ἄλλως. ουτο... λέγοντος ἃ δὲ ἔχει ἐκ Διονυσίων ἢ Ἀπατουρίων, τὸν ὑπερπίπτοντα τῶν μηνῶν ἀριθμὸν οὕτω δηλοῖ τις. τοῦτο ἔθος ἦν Ἀττικοῖς, λέγειν τὰ ἔτη κατὰ τὸν ὑπερπίπτοντα ἀριθμὸν ἀπὸ τῶν Διονυσίων.

book 754 τοῦτο αἱματοδεκτικὸν ἀγγεῖον, ὃ εἶπεν ὁ ποιητὴς ἄμνιον.

book 756 τοῦτο ἅμα εἰπὼν ἐκχέει τὸν οἶνον ὁ κηδεστὴς ἐν τῷ βωμῷ.

book 758 ἀπὸ ἔθους. ἐκδερματώσαντες γὰρ τὰ ἱερεῖα διδόασι τὰ δέρματα ταῖς ἱερείαις. ἐκχέας οὖν τὸν οἶνον χαρίζεται αὐτῇ τὸν ἀσκόν.

book 760 ἐνταῦθα ἀπέδωκεν ὁ Ἀριστοφάνης τὸ ὄνομα τῆς γυναικὸς, ἧς ἥρπασε τὸ παιδίον ἤτοι τὸν ἀσκὸν ὁ κηδεστής.

book 766 ὁ Εὐριπίδης.

book 771 ὁ γὰρ Εὐριπίδης ἐν τῷ Παλαμήδει ἐποίησε τὸν Οἴακα τὸν ἀδελφὸν Παλαμήδους ἐπιγράψαι εἰς τὰς ναῦς τὸν θάνατον αὐτοῦ, ἵνα φερόμεναι αὗται ἔλθωσιν εἰς τὸν Ναύπλιον τὸν πατέρα αὐτοῦ καὶ ἀπαγγείλωσι τὸν θάνατον αὐτοῦ. ὥσπερ Οἴαξ τῷ Ναυπλίῳ γράφει ἐν τῷ Παλαμήδει Εὐριπίδου. ὁ γὰρ Οἴαξ ἐγχαράττει πολλαῖς πλάταις τὰ περὶ τὸν Παλαμήδην καὶ ἀφίησιν εἰς θάλασσαν, ὥστε μιᾷ γέ τινι τὸν Ναύπλιον προσπεσεῖν.

book 773 πᾶν ἐφ’ ᾧ τις ἀγάλλεται. πινάκια δὲ ἦσαν ἀνακείμενα. πίνακες γὰρ ἦσαν ἐν τῷ ἱερῷ, καὶ ἀπὸ τούτων λαβὼν γράφει, καὶ ῥίπτει αὐτὰς λέγων «ἀπέλθετε, σημάνατε Εὐριπίδῃ.»

book 777 ἄνυσιν ἔχοντι καὶ ἐπίνοιαν.

book 779 σμίλης λέγει ἀντὶ τοῦ γραφείου. ὁλκοὺς λέγει τὰ σημεῖα, ἐπειδὴ ἕλκομεν γράφοντες.

book 781 ὡς Εὐριπίδην γράφων, ἐν ᾧ τὸ ρ. ἐν τῷ γράφειν τὸ τοῦ Εὐριπίδου ὄνομα τοῦτό φησιν.

book 785

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῇ παραβάσει χρησάμεναι.

book 790 μήτε καταληφθῆναι παρακύπτουσαν.

book 804 πέπλασται τὰ ὀνόματα, ἐπεὶ εὐδοκίμουν οἱ Ἀθηναῖοι τότε τῷ ναυτικῷ. Χαρμῖνος δὲ περὶ Σάμον συνεστρατήγησε κατὰ τὸν καιρὸν τοῦτον τοῖς περὶ Φρύνιχον. Ναυσιμάχη δὲ πόρνη καὶ Σαλαβακχώ. Ἄλλως. συνεμάχησε γὰρ Φρυνίχῳ ἐν Θρᾴκῃ ὁ Χαρμῖνος, καὶ ἴσως οὐδὲν ἀξιόλογον ἔπραξεν. διὸ λέγει «δῆλα τὰ ἔργα.»

book 805 Κλεοφῶντα λέγει τὸν λυροποιόν. διαβάλλει δὲ αὐτὸν ὡς κίναιδον.

book 806 πόρνης ὄνομα.

book 808 καὶ ἡ Εὐβούλη πέπλασται. τὸ δὲ ὅλον τί βούλεται, οὐκ ἔστι σαφές. ἀλλ' οὐδὲ παρὰ Πλάτωνι ἐν τῷ Ὑπερβόλῳ· λέγει γάρ τι περὶ τοῦ ἐπιλαγχάνειν τοῖς βουλευταῖς «εὐτυχεῖς ὦ δέσποτα. τί δ' ἔστι; βουλεύειν «ὀλίγου 'λαχες πάνυ. ἀτὰρ οὐ λαχὼν ὅμως ἔλαχες, «ἢν νοῦν ἔχῃς. πῶς ἢν ἔχω νοῦν; ὅτι πονηρῷ καὶ «ξένῳ ἐπέλαχες ἀνδρί· *** οὐδέπω γὰρ ἐλευθέρῳ.» καὶ ἐν ταὐτῷ «ἅπερρ'· ἐγὼ δ' ὑμῖν τὸ πρᾶγμα δὴ «φράσω. Ὑπερβόλῳ (βουλῆς γὰρ) ἄνδρες ἐπέλαχον.» τὸ βουλεῦσαι βουλείαν ἔλεγον.

book 811 λέγει ἀπὸ συμμάχων ἢ στρατείας. τὸ δὲ ζεύγει ἀντὶ τοῦ ἁμάξαις ἐκφέρειν δεῖ. ** διὸ καὶ οὐκ εἶπεν οὕτως πεντήκοντα, ἀλλὰ κατὰ πεντήκοντα, τὸ συνεχὲς ἐκφαίνων.

book 823 σκέπασμά τι ἐπὶ τῆς κεφαλῆς βαλλόμενον, ἢ μέρος τοῦ ἱστίου.

book 825 τὴν κάμακα τῆς λόγχης λέγει. οἱ μέν φασι κανόνα αὐτὸν λέγειν τὸ ξύλον τῆς λόγχης, οἱ δὲ τὸν κανόνα τῆς ἀσπίδος.

book 826 τῷ σιδήρῳ.

book 828 συνέχεεν καὶ οὗτος ὡς Εὔπολις πολλάκις· στρατιὰ μὲν γὰρ τὸ πλῆθος, στρατεία δὲ ἡ στράτευσις.

book 829 τὴν ἀσπίδα λέγει· σκιάζει γὰρ τὸν ἄνδρα. αἰνίττεται δὲ καὶ εἰς Κλεώνυμον.

book 834 ἀμφότεραι ἑορταὶ γυναικῶν, τὰ μὲν Στήνια πρὸ δυεῖν τῶν Θεσμοφορίων Πυανεψιῶνος θʹ, τὰ δὲ Σκίρα λέγεσθαί φασί τινες τὰ γινόμενα ἱερὰ ἐν τῇ ἑορτῇ ταύτῃ Δήμητρι καὶ Κόρῃ. οἱ δὲ, ὅτι ἐπὶ Σκίρῳ θύεται τῇ Ἀθηνᾷ.

book 838 εἶδος κουρᾶς δουλικῆς. τὸ ἑξῆς. ὑστέραν τῆς τὸν ἀνδρεῖον τεκούσης. ἀντὶ τοῦ μιᾶς γυναικὸς ὑστέραν. ἐὰν δὲ ὑστάτην, ἁπάντων ὑστάτην.

book 840 πολλάκις εἶπον ὅτι προβάλλει ὁ Ὁμηρικὸς ἐν τῷ πρὸς Πολύβιον προτατικῷ τίς ἡ Ὑπερβόλου μήτηρ. οὐκ ἔχομεν δὲ εἰπεῖν. εἰ δὲ χρὴ τὰ τοιαῦτα ζητεῖν, ζητείτωσαν καὶ τὴν ἑξῆς, τὴν Λαμάχου· τὸν γὰρ πατέρα μόνον οἶδα Λαμάχου, Ξενόφαντον.

book 841 ἐπαινεῖ τὸν Λάμαχον νῦν· ἤδη γὰρ ἐτεθνήκει ἐν Σικελίᾳ τετάρτῳ ἔτει πρότερον.

book 846 τυφλὸς, διεστραμμένος τὴν ὄψιν. Σώφρων «ἰλ- «λοτέρα τᾶν κορωνᾶν.»

book 848 ἄνω γὰρ ἐκέχρητο τῇ ἐκ Παλαμήδους ἐπινοίᾳ.

book 850 ὑπόγυον δεδιδαγμένην.

book 852 τὸ κοικύλλειν, φασὶν, ἐπὶ τοῦ περιβλέπεσθαι δύναται καὶ ἐνθάδε. βέλτιον δὲ ἐπὶ τοῦ κακοτεχνεῖν. τὸ δὲ ἔχων παρέλκει Ἀττικῷ ἔθει.

book 855 ἐξ Ἑλένης Εὐριπίδου πολλὰ τούτων.

book 857 μέλανα καὶ συρμαϊζόμενον. ἡ δὲ συρμαία κρίθινόν ἐστι πότημα.

book 861 ἐπὶ πονηρίᾳ διαβάλλεται. τινὲς δὲ καὶ πατέρα αὐτῷ φασὶν ἀληθῶς εἶναι τοῦτον.

book 863 τῆς γυναικείας μιμήσεως.

book 868 ὅτι πονηροὶ οἱ κόρακες, καὶ ὅτι μέχρι νῦν οὐκ ἐσπάραξάν σε.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 869 σαίνει τὸ ᾆσμα.

book 870 σύνηθες τὸ σχῆμα. Μένανδρος «οἶσθ’ ὃ ποίησον.» Σοφοκλῆς Πηλεῖ «μὴ ψεῦσον ὦ Ζεῦ· μή μ’ ἕλῃς ἄνευ δορός.» «οἶσθ’ οὖν ὃ δρᾶσον» Εὐριπίδης Πολυΐδῳ.

book 871 ὁ Εὐριπίδης ἀναλαμβάνει τὸ πρόσωπον τοῦ Μενελάου καὶ ὑποκρίνεται.

book 876 Πρωτέας οὕτω καλούμενος Ἀθηναῖος, ὃς ἐτεθνήκει πρόπαλαι.

book 878 διαβάλλει τὴν Αἴγυπτον ὡς ἀλίμενον καὶ ὡς κίνδυνον ἐμποιοῦσαν ταῖς ναυσίν.

book 882 ἐκ τῆς θαλάσσης.

book 897 ἣν εἶπεν Ὅμηρος [Od. Θ, 366] Εἰδοθέαν.

book 898 ἀπὸ δήμου τῆς Αἰγηίδος φυλῆς, ἔνθα τὸ Εὐρυσθέως ἀπόκειται σῶμα ἐν τῷ ἀκρωτηρίῳ. ἐπίρρημα δὲ τὸ Γαργηττόθεν.

book 902 τὰς κόρας σου ἀντιπροσώπους μοι στρέψον.

book 903 ἐπειδὴ ξυρηθεὶς ἦν.

book 910 δέον εἰπεῖν ἐκ τῶν ὄψεων, εἶπεν ἐκ τῶν ἰφύων. ἴφυον δέ ἐστιν εἶδος ἀγρίου λαχάνου, ὅτι Εὐριπίδης λαχανοπώλιδος Κλειτοῦς υἱὸς ἦν δηλονότι.

book 913 καὶ ταῦτα ἐκ τῆς Ἑλένης, καὶ καθόλου τὰ πλεῖστα.

book 915 ταῦτα λέγει ἀκολουθῶν αὐτῷ καὶ βουλόμενος ἐκφυγεῖν.

book 917 τὸ χ παράκειται τῷ στίχῳ. καί φησι Καλλίστρατος ** οὐ τῇ λαμπάδι εἶπεν, ἀλλὰ νὴ τῇ δᾳδὶ, ὡς δῆλον εἶναι ὅτι ἑκατέρως ἔλεγον. ἀνάξιος δὲ ἂν εἴη ὁ Καλλίστρατος πιστεύεσθαι ὡς ἂν περὶ διδασκάλου τοῦ Ἀριστοφάνους λέγων.

book 921 οὐ κυρίως, ἀλλ’ οἷον κοινόβουλος.

book 922 ἐπανουργεῖτε, ὡς δὴ τῶν Αἰγυπτίων πανούργων ὄντων.

book 926 ἕως ζῶ.

book 928 ἡ σπάρτος. ἀντὶ τοῦ ἡ μηχανή. παροιμία ἐπὶ τῶν ἐπιχειρούντων τι ποιεῖν καὶ ἀποτυγχανόντων.

book 935 ἐπεὶ ἄνω αἰγυπτιάζειν αὐτοὺς ἔφη, οἱ δὲ Αἰγύπτιοι λινοποιοί εἰσιν. ὁ πανοῦργος. ἀπὸ μεταφορᾶς τῶν τὰ ἄρμενα ῥαπτόντων.

book 940 πρὸς σανίσιν ἐδεσμεύοντο πολλάκις, ὡς καὶ Κρατῖνος δηλοῖ. «ἐπίτρεψον οὖν τῷ τοξότῃ» φησὶ «γυμνόν με πρὸς τῇ σανίδι δῆσαι.»

book 941 μετὰ κροκωτοῦ τοῖς κόραξιν ἑστίασιν παρέχων. ἀντὶ τοῦ ἑστίασιν παρέχων. Ἀττικὴ δὲ ἡ σύνταξις, ὅτι τὸ ἑστιᾶν καὶ δοτικῇ συντάσσουσιν, ὡς καὶ παρ’ Εὐπόλιδί ἐστιν ἐν Αὐτολύκῳ θατέρῳ «ὥστ’ οὔτ’ ἐκεῖ οὔτ’ «ἐνθάδε δεῖ ξενίζεσθαι.»

book 944 ὅτι ἐνδυσάμενος καὶ ἐλθὼν εἰς τὰς γυναῖκας κατάδηλος ἐγενόμην.

book 947 τὸ παίξωμεν οἱ Ἀττικοὶ παίσωμεν ἔλεγον, καὶ τὸ παίσωμεν πάλιν παίξωμεν. καὶ [Hom. Od. Ψ, 134] «πολυπαίγμονος ὀρχηθμοῖο.»

book 948 ὅταν τὰ μυστήρια αὔξωμεν, φησὶν, τῶν θεῶν. λέγει δὲ Δημήτρας καὶ Περσεφόνης. Ἄλλως. ὅταν τὰς τελετὰς αὔξωμεν· τοῖς γὰρ ὕμνοις ἐπαίρομεν αὐτάς. καὶ τοῦτο ἐστὶ τὸ ἀνέχωμεν.

book 949 Παύσων ὁ ζωγράφος εἰς πενίαν διαβάλλεται, καὶ διὰ τοῦτο εἶπε νηστεύει.

book 968 ὅτι ἐν θεάτρῳ ἦσαν. ἐπειδὴ μέλλουσιν ἐλθεῖν εἰς τὴν ᾠδήν.

book 969 τὸν Ἀπόλλωνα.

book 971 τὴν παρθένον.

book 973

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἥρα τελεία καὶ Ζεὺς τέλειος ἐτιμῶντο ἐν τοῖς γάμοις ὡς πρυτάνεις ὄντες τῶν γάμων. τέλος δὲ ὁ γάμος. διὸ καὶ προτέλεια ἐκαλεῖτο ἡ θυσία ἡ πρὸ τῶν γάμων γινομένη.

book 977 ἔφορος γὰρ τῶν θρεμμάτων ὁ θεός.

book 986 τορῶς καὶ τρανῶς λέγε τὴν ᾠδήν.

book 1001 ἀντὶ τοῦ πρὸς τὴν αἰθρίαν. βαρβαρίζει δὲ ὁ τοξότης.

book 1003 ἀντὶ τοῦ δρῶ. τοῦτο δὲ εἰπὼν πλέον αὐτὸν ἐπισφίγγει.

book 1007 πορμός ἀντὶ τοῦ φορμὸς, ψίαθος. ἀντὶ τοῦ ἵνα φυλάξω σε.

book 1009 ὁρᾷ Εὐριπίδην προσιόντα.

book 1011 ἀντὶ τοῦ ὡς Περσεύς.

book 1012 Ἀνδρομέδαν: πιθανῶς· συνδεδίδακται γὰρ τῇ Ἑλένῃ.

book 1015 παρὰ τὰ ἐξ Ἀνδρομέδας Εὐριπίδου «φίλαις παρθένοι, φίλαι μοι.» τὰ δὲ ἐπιφερόμενα πρὸς τὸ αὐτὸ χρήσιμον.

book 1018 πάλιν ἐξ Ἀνδρομέδας. πρὸς τὴν ἠχὼ Ἀνδρομέδα λέγει «προσαιδοῦσσαι τὰς «ἐν ἄντροις ἀπόπαυσον ἔασον ἀχοῖ με σὺν φίλαις γόου «πόθον λαβεῖν.» διὰ τὸ λαμβάνειν ἀποσπάσματα ἀσύνδετον τὸ ὅλον γίνεται.

book 1021 ὡς ἐν κωμῳδίᾳ.

book 1022 παρὰ τὸ τοῦ χοροῦ ἐν Ἀνδρομέδᾳ «ἄνοικτος «ὃς τεκών σε τὴν πολυπονωτάτην βροτῶν μεθῆκεν «Ἅιδᾳ πατρὸς ὑπερθανεῖν.»

book 1024 τὴν τηρήσασαν αὐτὸν ἐν τοῖς θεσμοφορίοις.

book 1025 δέον εἰπεῖν ἐσώθην, ἀπωλόμην εἶπε χάριν γέλωτος.

book 1030 πάλιν ἐξ Ἀνδρομέδας. τὸ δὲ ἐπιφερόμενον σκώπτοντός ἐστι τοὺς Ἀθηναίους ὡς φιλοδίκους.

book 1031 παρὰ τὴν ψηφοθήκην. οὐ δικάζω, φησὶν ὁ γέρων.

book 1033 ἐπεὶ ὀψοφάγος καὶ γαστρίμαργος ὁ Γλαυκέτης, ὡς ἐν Εἰρήνῃ [1008] δηλοῦται.

book 1034 καὶ τοῦτο ἐξ Ἀνδρομέδας.

book 1040 ἀπὸ κοινοῦ λάβωμεν πέπονθα ἄνομα πάθεα. καὶ ταῦτα ἐξ Ἀνδρομέδας. δεομένη τοῦ βαρβάρου. προεῖπε δὲ «γοᾶσθέ μ' ὦ γυναῖκες.» γρ. καὶ φῶτα ἀντομένα· καὶ τοῦτο ἔχει νοῦν πρὸς τὰ ἑξῆς, φῶτ' ἀντομέναν, ὃς ἔμ' ἀπεξύρησε πρῶτον.

book 1041 ἀντὶ τοῦ πολυδακρύτου.

book 1044 ἀντὶ τοῦ κροκωτὸν ἀμφέδυσεν.

book 1050 ἴσως τὸν ἥλιον ἀστέρα ἐκάλεσεν, ἢ μᾶλλον τὸν κεραυνόν.

book 1051 διχῶς, τὸν ἄθλιον.

book 1054 λείπει ἔσχον, ἐκ τῶν δαιμόνων τὰ ἄχη ἔσχον. σκοτεινήν.

book 1056 ὑποκρίνεται Εὐριπίδης τὸ πρόσωπον τῆς Ἠχοῦς. πατὴρ γὰρ τῆς Ἀνδρομέδας ὁ Κηφεύς.

book 1059 εἰωθυῖα γελᾶν, γελάστρια. ἐπεὶ εἰσήγαγε κακοστένακτον τὴν Ἠχὼ ὁ Εὐριπίδης ἐν τῇ Ἀνδρομέδᾳ, εἰς τοῦτο παίζει. ἐζήλωσε δὲ αὐτὸν Πτολεμαῖος ὁ Φιλοπάτωρ ἐν ᾗ πεποίηκε τραγῳδίᾳ Ἀδώνιδι, περὶ ἧς ὁ ἐρώμενος αὐτῷ Ἀγαθοκλῆς γέγραφεν, ὁ ἀδελφὸς τῆς ἐρωμένης αὐτοῦ πάλιν Ἀγαθοκλείας.

book 1060 ἐπεὶ πέρυσιν ἐδιδάχθη ἡ Ἀνδρομέδα.

book 1064 ἠρέμα ὁ κηδεστὴς τοῦτο πρὸς τὸν Εὐριπίδην.

book 1065 ὁ Μνησίλοχος ὡς Ἀνδρομέδα. τοῦ προλόγου Ἀνδρομέδας εἰσβολή.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1066 πορείαν.

book 1069 τοῦτο ἡ ἠχὼ λέγει.

book 1070 καὶ τοῦτο ἐκ τοῦ προλόγου.

book 1072 λείπει μέλλουσα τυχεῖν.

book 1073 φλυαροῦσα.

book 1077 τὸ πλῆρες ὠγαθή.

book 1083 χωρὶς τοῦ ε γράφεται· ὁ γὰρ Σκύθης βαρβαρίζει.

book 1085 ἀντὶ τοῦ σοὶ κακόν.

book 1086 πόθεν ἡ φωνή; θαυμάζει τὴν ἠχώ.

book 1089 καταγελᾷς μοι.

book 1090 τοῦτο ὁ χορὸς ἢ ὁ γέρων.

book 1094 ἀντὶ τοῦ οὐ χαιρήσεις.

book 1095 λαλεῖς.

book 1096 κάτεχε.

book 1097 τὴν λάλον καὶ κατάρατον γυναῖκα.

book 1098 εἰς Περσέα ἐξ Ἀνδρομέδας τρία τὰ πρῶτα. καὶ λοιπὸν ἐπέζευξε τὰ ἑξῆς.

book 1099 ἐλέγετο γὰρ ὁ Περσεὺς εἰς τοὺς πόδας ἔχειν τὰ πτερά.

book 1103 τί λέγει περὶ τῆς κεφαλῆς τοῦ Γόργου τοῦ γραπτέως, ἐπεὶ προεῖπεν ἐκεῖνος «Γοργόνος κάρα κομίζων.» ὁ δὲ Γόργος γραμματεὺς, ἀλλὰ καὶ βάρβαρος.

book 1105 πάλιν ἐξ Ἀνδρομέδας «ἔα, τίν' ὄχθον τόνδ' «ὁρῶ περίρρυτον ἀφρῷ θαλάσσης, παρθένου τ' εἰκώ «τινα.»

book 1109 ἀποθανουμένη τολμᾷς λαλῆσαι.

book 1114 δείκνυσιν αὐτῷ τὸ αἰδοῖον.

book 1118 οὐ ζηλῶ σε, φησὶν, εἰ ἐρᾷς.

book 1119 εἰ μὴ τὸν νῶτον ἦν, φησὶ, πρὸς τῇ σανίδι, ἀλλὰ πρὸς ἡμᾶς ἐτέτραπτο, οὐκ ἄν σοι ἐφόνησα ἀπαγαγόντι περανεῖν.

book 1127 ἔλεγε τὸ ξιφομάχαιρα ὡς δρεπανομάχαιρα.

book 1130 παρὰ τὰ ἐκ Μηδείας [298].

book 1151 ὅπου.

book 1168 λάθρα ποιεῖτε.

book 1170 Ἀττικῶς ἀντὶ τοῦ πεπείσμεθα.

book 1172 Εὐριπίδης ἐν σχήματι προαγωγοῦ γραός. ἑταίρας ὄνομα Ἐλάφιον ὡς Χρυσίον, ..ον καὶ τὰ ὅμοια.

book 1174 σημειωτέον τοῦτο. σημαίνει δὲ τὸ ἁβρῶς βαδίζειν. ἡ αὐλητρίς.

book 1175 βαρβαρικὸν καὶ Περσικὸν ὄρχημα ὄκλασμα καλεῖται, περὶ οὗ Ἰόβας μακρὸν πεποίηται λόγον ἐν τοῖς περὶ τῆς θεατρικῆς ἱστορίας, ὥστε λελύσθαι τὴν Σελεύκου πρότασιν. προτείνει γὰρ ἐν τῷ πρὸς Ζήνωνα προτατικῷ τὸ Περσικὸν ὄρχημα.

book 1176 διχῶς, κωμοδρίαν.

book 1180 κατὰ δέρμα.

book 1185 ὡς στέριφα τὰ τιτθία.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1186 πρὸς τὴν αὐλητρίδα.

book 1187 πρὸς τὸ πέος λέγει ἐπιπλήττων ἐντεινομένῳ.

book 1190 οὐχὶ φιλήσειν.

book 1197 τὴν τοξοθήκην. συβήνη αὐλοθήκη. λέγουσι δὲ καὶ τὸν φαρετρεῶνα συβήνην.

book 1199 παρακελεύεται αὐτῷ τηρεῖν τὸν γέροντα, αὐτὸς δὲ εἰσέρχεται μετὰ τῆς ὀρχηστρίδος.

book 1202 ἐπειδὴ τῶν δόλων ἔφορος ὁ Ἑρμῆς.

book 1203 τὴν τοξοθήκην καὶ τὰ ὄργανα τῆς ὀρχηστρίδος.

book 1205 δραμῇ.

book 1214 ἐξηπάτησε. παρὰ τοῖς Ἴωσιν. ὁ αὐτὸς ἐν Ὄρνισιν [1648] «διαβάλλεταί ς’ ὁ θεῖος.» ἑαυτῷ παρακελεύεται.

book 1218 ὁ χορὸς ἐμπαίζει τῷ Σκύθῃ. ἵνα μὴ διώκων καταλάβῃ αὐτούς· συνέθετο γὰρ Εὐριπίδης ἐλθὼν φιλίαν πρὸς αὐτάς. πηκτὶς ὄργανον κιθαρῳδικόν. ἔφερεν δὲ τοῦτο· ἦν γὰρ μετ’ αὐτῆς ἡ αὐλητρίς.

book 1222 ποίαν ὁδὸν, φησὶ, περιπατήσω.

book 1224 ὡς αὐτοῦ τὴν ὁδὸν ἐκείνην θέλοντος ἀπελθεῖν. οἵαν ἀπῆλθον οἱ περὶ τὸν Εὐριπίδην.

book 1226 ἐπιδραμών.

book 1227 πέπαικται.

book 1230 ἡ Δημήτηρ καὶ ἡ Περσεφόνη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org